τράγον τις εἷλκεν, ἄλλος ἰσχάδων ἄρριχον ἠκολούθει κομίζων, ἐπὶ πᾶσι δ' ὁ φαλλός. ἀλλὰ νῦν ταῦτα παρεώραται καὶ ἠφάνισται χρυσωμάτων παραφερομένων καὶ ἱματίων πολυτελῶν καὶ ζευγῶν ἐλαυνομένων καὶ προσωπείων· οὕτω τὰ ἀναγκαῖα τοῦ πλούτου καὶ χρήσιμα τοῖς ἀχρήστοις κατακέχωσται καὶ τοῖς περιττοῖς. (9.) οἱ δὲ πολλοὶ τὸ τοῦ Τηλεμάχου πάσχομεν· καὶ γὰρ ἐκεῖνος ὑπ' ἀπειρίας μᾶλλον δ' ἀπειροκαλίας τὴν μὲν Νέστορος ἰδὼν οἰκίαν κλίνας
E ἔχουσαν τραπέζας ἱμάτια στρώματα οἶνον ἡδὺν οὐκ ἐμακάριζε τὸν εὐποροῦντα τῶν ἀναγκαίων ἢ καὶ χρησίμων, παρὰ δὲ τῷ Μενελάῳ θεασάμενος ἐλέφαντα καὶ χρυσὸν καὶ ἤλεκτρον ἐξεπλάγη καὶ εἶπε (δ 74)

'Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή·
ὅσσα τάδ' ἄσπετα πολλά· σέβας μ' ἔχει εἰσορόωντα.'

Σωκράτης δ' ἂν εἶπεν ἢ καὶ Διογένης 'ὅσσα τάδ' ἄθλια πολλὰ' καὶ ἄχρηστα καὶ μάταια· 'γέλως μ' ἔχει εἰσορόωντα.' 'τί λέγεις, ἀβέλτερε; τῆς γυναικὸς ὀφείλων παρελεῖν
F τὴν πορφύραν καὶ τὸν κόσμον, ἵνα παύσηται τρυφῶσα καὶ ξενομανοῦσα, τὴν οἰκίαν πάλιν καλλωπίζεις ὡς θέατρον ἢ θυμέλην τοῖς εἰσιοῦσι;'

**10.** Τοιαύτην ὁ πλοῦτος εὐδαιμονίαν ἔχει, θεατῶν ⟨δίχα⟩ καὶ μαρτύρων [ἢ] τὸ μηδὲν οὖσαν. ὅμοιόν γε τὸ σωφρονεῖν